ζῴοις ἀδικοῦσιν, ἀλλ' οἱ χρώμενοι βλαβερῶς καὶ ὀλιγώρως καὶ μετ' ὠμότητος.

8. *Σ.* Ἐπίσχες, ὦ Αὐτόβουλε, καὶ παραβαλοῦ ⟨τὸ θυρίον⟩ τῆς κατηγορίας· ἐγγὺς γὰρ οἵδε προσιόντες πολλοὶ καὶ θηρατικοὶ πάντες, οὓς οὔτε μεταθεῖναι ῥᾴδιον οὔτε λυπεῖν ἀναγκαῖον.

*ΑΥ.* Ὀρθῶς παραινεῖς· ἀλλ' Εὐβίοτον μὲν εὖ οἶδα καὶ τὸν ἐμὸν ἀνεψιὸν Ἀρίστωνα, τούς τε Διονυσίου παῖδας C ἀπὸ Δελφῶν, Αἰακίδην καὶ Ἀριστότιμον τοῦτον, εἶτα Νίκανδρον τὸν Εὐθυδάμου, χερσαίας 'δαήμονας' ἄγρας ὡς Ὅμηρος (ϑ 159 al.) ἔφη, καὶ διὰ τοῦτο πρὸς Ἀριστοτίμου γενησομένους· ὥσπερ αὖ πάλιν τούσδε τοὺς νησιώτας καὶ παραλίους, Ἡρακλέωνα τὸν Μεγαρόθεν καὶ Φιλόστρατον τὸν Εὐβοέα, 'τοῖσίν τε θαλάσσια ἔργα μέμηλε' (ε 67), Φαίδιμος ἔχων περὶ αὑτὸν βαδίζει.

'Τυδείδην δ' οὐκ ἂν γνοίης ποτέροισι μετείη' (*E* 85),

τουτονὶ τὸν ἡμέτερον ἡλικιώτην Ὀπτᾶτον, ὃς

'πολλοῖς μὲν ἐνάλου ὀρείου δὲ πολ-
λοῖς ἄγρας ἀκροθινίοις

ἀγλαΐσας' τὴν Ἀγροτέραν ἅμα θεὸν καὶ Δίκτυνναν, ἐνταῦθα δῆλός ἐστι πρὸς ἡμᾶς βαδίζων, ὡς μηδετέροις προσθήσων ἑαυτόν· D ἢ φαύλως εἰκάζομεν, ὦ φίλε Ὀπτᾶτε, κοινόν σε καὶ μέσον ἔσεσθαι τῶν νεανίσκων βραβευτήν;

*ΟΠΤΑΤΟΣ.* Πάνυ μὲν οὖν ὀρθῶς ὑπονοεῖς, ὦ Αὐτό-